## 148. JESUS' AUTHORITY CHALLENGED (Mk-Lk Identical)

| Mark 11:27-33 | Luke 20:1-8 |
| --- | --- |
| Καὶ ἔρχονται πάλιν | |
| εἰς Ἱεροσόλυμα. | |
| | Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν |
| | διδάσκοντος αὐτοῦ τὸν λαὸν |
| καὶ ἐν τῷ ἱερῷ | ἐν τῷ ἱερῷ |
| περιπατοῦντος αὐτοῦ | καὶ εὐαγγελιζομένου |
| ἔρχονται πρὸς αὐτὸν | ἐπέστησαν |
| οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς | οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς |
| καὶ οἱ πρεσβύτεροι | σὺν τοῖς πρεσβυτέροις, |
| 28 καὶ ἔλεγον | 2 καὶ εἶπαν λέγοντες |
| αὐτῷ, | πρὸς αὐτόν, Εἰπὸν ἡμῖν |
| Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς | ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, |
| ἢ τίς σοι ἔδωκεν | ἢ τίς ἐστιν ὁ δούς σοι |
| τὴν ἐξουσίαν ταύτην | τὴν ἐξουσίαν ταύτην. |
| ἵνα ταῦτα ποιῇς | |
| 29 ὁ δὲ Ἰησοῦς | 3 ἀποκριθεὶς δὲ |
| εἶπεν αὐτοῖς, | εἶπεν πρὸς αὐτούς, |
| Ἐπερωτήσω ὑμᾶς | Ἐρωτήσω ὑμᾶς κἀγὼ |
| ἕνα λόγον, | λόγον, |
| καὶ ἀποκρίθητέ μοι, | καὶ εἴπατέ μοι· |
| καὶ ἐρῶ ὑμῖν | |
| ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ· | |
| 30 τὸ βάπτισμα τὸ Ἰωάννου | 4 Τὸ βάπτισμα Ἰωάννου |
| ἐξ οὐρανοῦ ἦν | ἐξ οὐρανοῦ ἦν |
| ἢ ἐξ ἀνθρώπων | ἢ ἐξ ἀνθρώπων |
| ἀποκρίθητέ μοι. | |
| 31 καὶ διελογίζοντο | 5 οἱ δὲ συνελογίσαντο |
| πρὸς ἑαυτοὺς λέγοντες, | πρὸς ἑαυτοὺς λέγοντες |
| Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, | ὅτι Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, |
| ἐρεῖ, Διὰ τί οὖν | ἐρεῖ, Διὰ τί |
| οὐκ ἐπιστεύσατε αὐτῷ | οὐκ ἐπιστεύσατε αὐτῷ |
| 32 ἀλλὰ εἴπωμεν, | 6 ἐὰν δὲ εἴπωμεν, |
| Ἐξ ἀνθρώπων | Ἐξ ἀνθρώπων, |
| ἐφοβοῦντο τὸν ὄχλον, | ὁ λαὸς ἅπας καταλιθάσει ἡμᾶς, |
| | |
| ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην | πεπεισμένος γάρ ἐστιν Ἰωάννην |
| ὄντως ὅτι προφήτης ἦν. | προφήτην εἶναι. |
| 33 καὶ ἀποκριθέντες | 7 καὶ ἀπεκρίθησαν |

| | |
|---|---|
| τῷ Ἰησοῦ λέγουσιν, | |
| Οὐκ οἴδαμεν. | μὴ εἰδέναι πόθεν. |
| καὶ ὁ Ἰησοῦς λέγει αὐτοῖς, | 8 καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, |
| Οὐδὲ ἐγὼ λέγω ὑμῖν | Οὐδὲ ἐγὼ λέγω ὑμῖν |
| ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. | ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. |

136 words out of 241 words = 56%